Homerus; Didymus <Caecus>; Mai, Angelo [Hrsg.]: Iliadis fragmenta antiquissima cum picturis
Mediolani, 1819 Seite 134

ΣΧΟΛΙΑ ΕΙΣ ΟΔΥΣΣΕΙΑΝ.

ΡΑΨΩΙΔΙΑ Τ.

SCHOLIA AD ODYSSEAM.

LIBER XIX.

ΤΠΟΘΕΣΙΣ.

Σὺν Τηλεμάχῳ ἔνθεσιν ποιεῖται τῶν ὅπλων Ὀδυσσεὺς, καὶ πρὸς Πηνελόπην φησὶ ψευδῶς ἐκ Κρήτης εἶναι. Γίνεται δὲ αὐτοῦ δι' οὐλῆς ἀναγνωρισμὸς πρὸς Εὐρύκλειαν νίπτουσαν αὐτοῦ τοὺς πόδας· καὶ κατὰ παρέκβασιν ὁ ποιητὴς διηγεῖται ὡς ἐν Παρνασῷ ὑπὸ συὸς ἐκπλήγη κυνηγῶν. Q.

V. 2. Σὺν Ἀθήνῃ.] Ἤτοι παρούσῃ σιωπωμένως, ἢ προνοίᾳ τῆς θεοῦ, ὡς ἐπὶ τοῦ δουρίου ἵππου τὸν Ἐπηός ἐποίησε σὺν Ἀθήνῃ. Q.

V. 22. Ἐπιφροσύνας ἀνέλοιο.] Ἀντὶ τοῦ φρόνιμος γενήσῃ. Q.

V. 25. Προβλωσκέμεν.] Προέρχεσθαι. Q.

V. 27. Ξεῖνος ὅδ'] Ὁ ξεῖνος ὅδε φῶς μοι ποιήσει. B.

Ἔργον ἀνέξομαι.] Ἀττικὴ ἡ σύνταξις, ὥστε ἀνέχομαί σε, αἰτιατικὴ ἀντὶ γενικῆς. B. Q.

V. 28. Χοίνικας.] Ἀντὶ τοῦ δαπάνης τροφῆς· ἅπαξ ἐνταῦθα ἡ φωνὴ· καὶ οὐ διὰ τοῦτο χωριστέον τῆς Ἰλιάδος τὴν Ὀδύσσειαν, κἀκεῖ γάρ εἰσι τοῦδε εὐτελέστερα ὀνόματα, ὅλμον δ' ὡς ἔσσευε βαλὼν· ἀμφ' ἀστραγάλοισι χολωθεὶς πτύοντ'. Q.

V. 33. Πάροιθε δὲ Παλλὰς Ἀθήνη.] Δῆλον οὖν ὅτι καὶ ἐν ἀρχῇ παρῆν. Q.

V. 34. Δύχνον.] Ἀπὸ τοῦ λύειν τὸ νύχος, λέγει δὲ τὴν δᾴδα κυρίως· τοῦ δὲ παρ' ἡμῖν καλουμένου λύχνου τοὺς ἥρωας χρωμένους ὁ ποιητὴς οὐκ εἰσάγει, καὶ
Hesiodus. οὔτε Ἡσίοδος μέμνηται. Q.

Λείπει τὸ ὡς· ὡς χρύσεον λύχνον ἔχουσα, ὅ ἐστι ἀμαυρὸν φῶς ἐπείει ὡς ἀπὸ ἐκλάμψεως χρυσοῦ. Δουλοπρεπὲς καὶ λίαν εὐτελὲς τὸ τῆς διανοίας· πολλῷ γὰρ ἦν ἄμεινον ἐπιδημησάσης τῆς δείμονος αὐτόματον ἐπιλάμψαι πολυτελὲς φῶς· οὕτως οὖν ὁ λόγος ἐχέτω· ἡ δ' Ἀθηνᾶ φάος ἐποίει, ὡς χρύσεον λύχνον ἔχουσα· καὶ γὰρ οὐκ ἐχρῆν δαψιλὲς ἐπιλάμψαι τὸ φῶς πρὸς τὸ μὴ γνωσθῆναι κατὰ τὴν αὐλὴν τὴν μετακομιδὴν τῶν ὅπλων· εἴωθε δὲ ὁ ποιητὴς μὴ ἀποδοκιμάζειν τῶν ὀνομάτων τὰ εὐτελῆ, ὡς τὸ μυῖαν κνάμους τὲ καὶ ἐρεβίνθους. B. Q.

Aristarchus. V. 37. Μεσόδμαι.] Ὁ Ἀρίσταρχος μεσόστηλοι (B. τὰ μεσόστυλα·) ἔνιοι δὲ τὰ μεταξὺ τῶν δοκῶν διαστήματα. B. Q.

V. 43. Αὕτη τοι δίκη ἐστὶ θεῶν.] Οὗτος ὁ τρόπος τῶν θεῶν τὸ καταφωτίζειν τοὺς τόπους ἐν οἷς τυγχάνουσιν. Q.

V. 46. Ἀμφὶς ἕκαστα.] Ἀντὶ τοῦ χωρὶς ὅ ἐστι κατὰ τάξιν. B. Q.

V. 55. Τῇ πάρα μὲν κλισίην.] Ταύτῃ τὸν κλισμὸν ἐν τῷ καταφωτιζομένῳ τόπῳ ἔθηκαν ἢ πλησίον τοῦ πυρός. B. Q.

V. 61. Αἱ δ' ἀπὸ μὲν σῖτον.] Ἐμφαίνει τὴν ἀσωτίαν αὐτῶν τὸ πολύ· οὕτως καὶ ἐν ἀρχῇ, σῖτον δὲ δμῶαι παρενήνεον. Q.

V. 67. Δινεύων.] Δινούμενος, ἀναστρεφόμενος, ἵνα πέψῃς ἐπεὶ μεθύεις. B.

V. 69. Εἶσθα.] Εἶμι, εἶς, εἶσθα, ὡς φῆς, φῆσθα. B.

V. 72. Λιπόω.] Λιπόω ἤτοι τῇ πιμελῇ λελίπασμαι. Q.

V. 86. Ἀπόλλωνός γε ἕκητι] Ἐπειδὴ τῶν ἀῤῥήνων κουροτρόφος ὁ θεὸς· τοὺς γὰρ κτεῖναι δυναμένους καὶ σώζειν εἰκός· διὸ κουροθάλεια καλεῖται ἡ Δάφνη, διὰ τὸ κουροτρόφον τοῦ Ἀπόλλωνος. Q.

V. 88. Τηλίκος ἐστίν.] Τοιοῦτο τῆς ἡλικίας ὡς ἀγνοεῖν τὰ γινόμενα. B.

V. 92. Ἀναμάξεις.] Σεαυτὸν προστρίψεις· πάντα γὰρ ἀκριβῶς ἤδεις. B.

V. 94. Ὡς τὸν ξεῖνον.] Ὥστε οὐ διὰ φιλοξενίαν μόνον τῷ ποχῷ συνεπόθει, ἀλλὰ καὶ προσθεραπεύουσα αὐτὸν ὑπὲρ τοῦ πυθέσθαι. Q.

V. 97. Δίφρον.] Οὐ θρόνον ἀλλὰ εὐτελὲς ὑποπόδιον. B.

V. 108. Νεικέει.] Διαβάλλει ἐπὶ κακοξενίᾳ. B.

V. 109. Ὥστε τευ ἢ βασιλῆος.] Τὸ ἢ ἀντὶ τοῦ καὶ, ὡς εἶναι ὥσπερ καὶ τινὸς βασιλέως ἀμώμου. Q.

V. 111. Ἐκδικίας ἀνέχῃσι.] Δικαίας κρίσεις· τὸ δὲ ἀνέχῃσι, αὔξει, ἀνυψοῖ. B.

V. 114. Ἐξ εὐηγεσίης.] Τῆς εὐδαιμονίας, ἢ τῆς εὐαρχίας· παρὰ τὸ εὖ ἡγεῖσθαι· καλῶς δὲ οἱ σὺν τὸ ῥ γράφοντες εὐηργεσίης. Q.

Ἀρετῶσι δὲ λαοί.] Ἐν ἀρετῇ ὦσι, καλῶς προύχοντος τοῦ ἡγεμόνος· ἢ ἐν ἀρετῇ καὶ εὐδαιμονίᾳ διάγουσι. B. Q.

V. 116. Μηδ' ἐμὸν ἐξερέεινε γένος.] Διὸ ἐπεὶ οὐδὲν κακὸν ἐποίησας, μηδ' ἐμὲ λύπει τὰ παρὰ προαίρεσίν με αἰτοῦσα λέγειν. B. Q.

V. 122. Δακρυπλώειν.] Σύνθετον τὸ δακρυπλώειν, οἷον δάκρυσι πληθύνειν· τὸ δὲ πλώω, πολλάκις τὸ πλήθειν σημαίνει. B. Q.

V. 124. Ἤτοι μὲν ἐμὴν ἀρετήν.] Καὶ τὴν ψυχικὴν ἀρετὴν καὶ τὴν σωματικὴν ἀπώλεσαν ἐξ οὗ ἀπῆλθεν Ὀδυσσεύς. Q.

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
http://digi.ub.uni-heidelberg.de/diglit/mai1819/0291
gefördert durch die DFG